νη ȣ τίθεται. Μακρὰ δὲ, ȣκ ἀεί.

§. Φκβ΄. Ἡ παραλήγȣσα δὲ ὅταν βραχεῖα ᾖ. οἷον, λόγος. ἢ αὐτή τε μακρὰ, καὶ ἡ λήγȣσα. ἥρως μακρὰ γὰρ πρὸ μακρᾶς ȣ περισπᾶται.

§. Φκγ΄. Ἡ προπαραλήγȣσα δὲ, ἢν μὴ ἡ λήγȣσα μακρὰ ȣ̃σα κωλύῃ. ἥρωος. Μακρᾶς γὰρ ȣ̓́σης ἐπὶ τέλȣς, ȣ δύναται προπαροξυνθῆναι λέξις κοινή.

§. Φκδ΄. Περισπᾶται δὲ ἡ παραλήγȣσα, ὅταν αὐτή τε ᾖ φύσει μακρὰ, καὶ ἡ λήγȣσα φύσει βραχεῖα. ἐπὶ γὰρ θέσει μακρᾶς Περισπωμένη ȣ τίθεται. Διὸ καὶ λέγεται, ὅτι πᾶσα φύσει μακρὰ, πρὸ βραχείας ληκτικῆς, ἐν ἑνὶ μέρει λόγȣ ȣ̃σα, καὶ ἀφ᾽ ἑαυτῆς ἔχȣσα τὸν τόνον, περισπᾶται.

§. Φκέ. Ἡ δὲ λήγȣσα, βραχεῖα μὲν ȣ̃σα, ȣ̓δέποτε· μακρὰ δὲ ἐκ συναιρέσεως ἀεί. εἰ δ᾽ ἄλλως φύσει, ȣκ ἀεί.

## Περὶ Τόνων τῶν Ὀνομάτων Κανόνες.

### Εὐθεῖα Ἑνικῶν.

§. Φκϛ΄. Κοινὸν μὲν ȣ̃ν τῶν Ὀνομάτων ἁπάντων, τὸ τὴν Εὐθεῖαν μὴ ἐκ συναιρέσεως ȣ̃σαν ὀξύνεσθαι, ἂν ἐπὶ τῆς ἐσχάτης ὁ τόνος.

§. Φκζ΄. Τὰ δὲ εἰς ας, καὶ εἰς υς, καὶ εἰς ȣς μονοσύλλαβα, καὶ ὅλως τὰ εἰς ȣς ἁπλᾶ, Περισπᾶται. πᾶς, μῦς, σῦς, δρῦς, βȣ̃ς. τȣ́τοις δ᾽ ἠκολȣ́θησε καὶ τὸ ἰχθῦς, καὶ ὀσφρῦς, καὶ ὀφρῦς. ἐξαιρείσθω τὸ πȣ́ς, καὶ ὀδȣ́ς. Περισπᾶται δὲ καὶ τὸ εἷς, ἀριθμητικόν.

§. Φκή. Ἔτι ὅσα τῶν ȣ̓δετέρων μονοσύλλαβα, Πε-